Τῶν δὲ ἐν τῷ ἁγίῳ Ὄρει ἱερῶν μοναστηρίων ἐπὶ τῆς κοινῆς διοικήσεως καὶ ἐφορίας ηγεμόνος πάλαι καθισταμένου τοῦ καὶ πρώτου ἐπονομαζομένου, μετὰ δὲ τὴν τῆς βασιλείας τῶν ρωμαίων πτῶσιν διὰ ψιλοῦ τοῦ ἐφόρου καὶ τεσσάρων ἐπιτρόπων ἐτησίως ἀπαλλασσομένων (sic) κατ' ἐκλογὴν καὶ μόνην συναίνεσιν τῶν ἱερῶν μοναστηρίων, ἔδοξέ τισι τὴν ἀρχαίαν ἀνανεώσασθαι τάξιν καὶ τὸν πρῶτον αὖθις ἀποκαταστῆσαι διά τε προχειρήσεως πατριαρχικῆς καὶ βασιλείου ὁρισμοῦ· καὶ δὴ διὰ μακροῦ διασκευάσαντες καὶ τὰς τῶν πλειόνων ὑπαγαγόντες γνώμας παρέστησαν τῷ παναγιωτάτῳ κυρίῳ Γαβριὴλ ἱερομόναχόν τινα σκευοφύλακα τοῦ πτωχοῦ μοναστηρίου τοῦ Εσφιγμένου Ἰγνάτιον τοὔνομα δοκοῦντα ῥέκτην καὶ κατορθωτικὸν καὶ τοῦτον ἡγήσαντο εἰς ταύτην τὴν προστασίαν προχειρήσασθαι δυνάμενον τὰ ἀρχαῖα ἀνακαλέσασθαι καὶ ἐπεὶ κατὰ κοινὴν ἐδόκει ἐκλογὴν καὶ γνώμην συγκατένευσεν ὁ παναγιώτατος καὶ προχειρισάμενος πρῶτον τῆς κοινότητος τοῦ ἁγίου Ὄρους ἀνέδειξε. μαθόντες οὖν οἱ προεστοὶ τῆς μεγάλης Λαύρας καὶ τῆς μεγάλης μονῆς τῶν Ἰβήρων καὶ μὴ ἀνεχόμενοι ὑπὸ τοιούτου διοικεῖσθαι καὶ ἄρχεσθαι, ὑφορώμενοι δὲ καὶ τὴν νέαν ἐπίνοιαν ἐπιβλαβεστάτην ἀντέστησαν καὶ ἀποδεικνύοντες ὀλεθριωτάτην τῷ κοινῷ τὴν αὐτοῦ ἐξουσίαν κατεπολέμησαν τὸν πρῶτον, ἄχρις οὗ συνέθλασαν αὐτοῦ τὴν ράβδον καὶ περιέστειλαν τὸ κουκούλιον ἔχοντες εἰς τοῦτο συνεργὸν τὸν μέγαν διερμηνευτὴν τῆς βασιλείας Νικόλαον Καρατζᾶν καὶ πολλοὺς ἄλλους τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου σοφωτέρᾳ προνοίᾳ ἀποδοκιμάσαντες τὴν προχείρισιν. (Ἠπ. Εὐβ. β΄, σ. 326)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ